αἰθερώδους καὶ ἀϊδίου φύσεως, ἐπὶ πᾶσαν τὴν περίγειον καὶ δι' ὅλων μεταβλητὴν, τῶν ὑπὸ τὴν ☾ πρώτων στοιχείων πυρὸς καὶ ἀέρος περιεχομένων μὲν καὶ τρεπομένων ὑπὸ τῶν κατὰ τὸν αἰθέρα κινήσεων, περιεχόντων δὲ καὶ συντρεπόντων τὰ λοιπὰ πάντα γῆν καὶ ὕδωρ, καὶ τὰ ἐν αὐτοῖς φυτὰ καὶ ζῶα, πᾶσιν ἂν ἐναργέστατον καὶ δι' ὀλίγων φανείη. ὅτε γὰρ ☉ διατίθησί πως ἀεὶ μετὰ τοῦ περιέχοντος πάντα τὰ περὶ τὴν γῆν οὐ μόνον διὰ τῶν κατὰ τοὺς ἐτησίους ὥρας μεταβολῶν, πρὸς γονὰς ζώων καὶ φυτῶν καρποφορίας, καὶ ῥύσεις ὑδάτων καὶ σωμάτων μετατροπὰς, ἀλλὰ καὶ διὰ τῶν καθ' ἑκάστην ἡμέραν περιόδων, θερμαίνων τε καὶ ὑγραίνων καὶ ξηραίνων καὶ ψύχων τεταγμένως τε καὶ ἀκολούθως τοῖς πρὸς τὸν κατὰ κορυφὴν ἡμῶν γινομένοις ὁμοιοτρόποις σχηματισμοῖς. ἥτε ☾ ὡς περιγειοτάτη, δίδωσι τοῖς πρὸς τὴν γῆν τὴν ἀπόρροιαν συμπαθούντων αὐτῇ καὶ συντρεπομένων τῶν πλείστων καὶ ἐμψύχων καὶ ἀψύχων. καὶ ποταμῶν μὲν συναυξόντων καὶ συμμειούντων τοῖς φωσὶν αὐτῆς τὰ ῥεύματα, θαλασσῶν δὲ συντρεπουσῶν ταῖς ἀνατολαῖς καὶ ταῖς δύσεσι τὰς ἰδίας ὁρμὰς, φυτῶν δὲ καὶ ζώων, ἢ ὅλων, ἢ κατά τινα μέρη συμπληρουμένων τε αὐτῇ καὶ συμμειουμένων. αἵτε τῶν ἀστέρων τῶν τε ἀπλανῶν καὶ τῶν πλανωμένων πάροδοι, πλείστας ποιοῦσιν ἐπισημασίας τοῦ περιέχοντος καυματώδεις καὶ νιφετώδεις, ὑφ' ὧν καὶ τὰ ἐπὶ τῆς γῆς οἰκείως διατίθεται. ἤδη δὲ καὶ οἱ πρὸς ἀλλήλους αὐτῶν σχηματισμοὶ, συνερχομένων τε καὶ συγκιρναμένων τῶν διαδόσεων, πλείστας καὶ ποικίλας μεταβολὰς ἀπεργάζονται. κατακρατούσης μὲν μετὰ τῆς τοῦ ☉ δυνάμεως πρὸς τὸ καθόλου τῆς ποιότητος τεταγμένον, συνεργούντων δὲ ἢ ἀποσυνεργούντων κατά τι τῶν λοιπῶν, καὶ τῆς μὲν ☾ ἐκφανέστερον καὶ συνεχέστερον, ὡς ἐν ταῖς συνόδοις καὶ διχοτόμοις καὶ πανσελήνοις, τῶν δὲ ἀστέρων περιοδικώτερον καὶ ἀσημότερον, ὡς ἐν ταῖς φάσεσι καὶ κρύψεσι καὶ προσνεύσεσιν. ὅτι δὲ τούτων οὕτω θεωρουμένων, οὐ μόνον τὰ ἤδη συγκραθέντα, διατίθεσθαί πως ὑπὸ τῆς τούτων κινήσεως ἀναγκαῖον ἀλλὰ καὶ τῶν σπερμάτων τὰς ἀρχὰς καὶ τὰς πληροφορήσεις διαπλάττεσθαι καὶ διαμορφοῦσθαι πρὸς τὴν οἰκείαν τοῦ τότε περιέχοντος ποιότητα καὶ πᾶσιν ἂν δόξειεν ἀκόλουθον εἶναι. οἱ γοῦν παρατηρητικώτεροι τῶν γεωργῶν καὶ τῶν νομέων, ἀπὸ τῶν κατὰ τὰς ὀχείας καὶ τὰς τῶν σπερμάτων καταθέσεις συμβαινόντων πνευμάτων στοχάζονται τῆς ποιότητος τῶν ἀποβησομένων καὶ ὅλως τὰ μὲν ὁλοσχερέστερα καὶ διὰ τῶν ἐπιφανεστέρων συσχηματισμῶν ☉ τε καὶ ☾ καὶ ἀστέρων ἐπισημαινόμενα, καὶ παρὰ τοῖς μὴ

φυσικῶς